# Ἀκολουθία ΕΝΔΕΚΑΡΙΘΜΩΝ ΑΓΙΩΝ ΜΟΝΗΣ ΔΙΟΝΥΣΙΟΥ

### Ψαλλομένη τῇ Γ' Κυριακῇ τοῦ Ματθαίου, ἤτοι τῇ β' Κυριακῇ μετά τήν Κυριακήν τῶν Ἁγίων Πάντων

### Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε Μοναζόντων ὁ χορός, τῶν ἐν τῇ Μονῇ τοῦ Προδρόμου, ἐνασκούμενων πιστῶς, ὕμνοις εὐφημήσωμεν, συμφώνως σήμερον, τοὺς ἐνταῦθα ἐκλάμψαντας, ἀρετῶν ἀσκήσει, καὶ βίου λαμπρότητι, καὶ ἄθλοις πίστεως· χαίρετε αὐτοῖς ἐκβοῶντες, ὅμιλε Ὁσίων Πατέρων, καὶ Ὁσιομάρτυρες ἐξάριθμοι.

Νεύσει θεϊκῇ ὁδηγηθείς, Μάνδραν ἱερὰν συνεστήσω, τῷ Βαπτιστῇ τοῦ Χριστοῦ, Πάτερ Διονύσιε ὡς φωτὸς ἔμπλεως, ἔνθα Νήφων ὁ ἔνδοξος, ἀρεταῖς ἐκλάμπει, ἅμα καὶ Δομέτιος, καὶ ὁ Λεόντιος, σὺν τῷ Φιλοθέῳ τῷ θείῳ, ἕκαστος ἐν χρόνοις ἰδίοις, λάμψας ἐναρέτοις κατορθώμασι.

Σκεύη γεγονότες ἀρετῶν, διὰ πολιτείας ἁγίας, καὶ ἐνάρετου ζωῆς, Ἅγιε Μακάριε καὶ Ἰωάσαφ κλεινέ, Ἰωσὴφ καὶ Γεννάδιε, καὶ σὺν Χριστοφόρῳ, Παῦλε παναοίδιμε, στεῤῥῶς ἠθλήσατε, ὑπὲρ τῆς ἀγάπης Κυρίου, παρ' Οὗ ἐδοξάσθητε ἅμα, ὡς Ὁσιομάρτυρες θεόληπτοι.

Χαίρει ἡ βλαστήσασα ὑμᾶς, Μάνδρα τοῦ Προδρόμου ἡ θεία, ὡς ἄνθη εὔοσμα, καὶ κοινοῖς ἐν ᾄσμασιν, ἄγει τὴν μνήμην ὑμῶν, θεοφόροι πεντάριθμοι, ἀρετῶν ταμεῖα, καὶ Ὁσιομάρτυρες ἀξιοθαύμαστοι, ἥνπερ ἀπὸ πάσης ἀνάγκης, ῥύεσθε ὑμῶν ταῖς πρεσβείαις, καὶ ἐπηρειῶν τῶν τοῦ ἀλάστορος.

Δόξα. Ἦχος β΄.

Δεῦτε ἅπαντα τῶν μοναζόντων τὰ πλήθη, τὴν ἐνδεκάριθμον χορείαν, τῶν Πατέρων τιμήσωμεν· οὗτοι γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχοντες, ὡς ξένοι καὶ πάροικοι, διαφόροις ἔτεσιν, ἐν τῇδε Μονῇ ἐπολιτεύθησαν, πολυειδῶς τῷ Σωτῆρι εὐαρεστήσαντες· καὶ τῆς ἄνω δόξης, ὁμοῦ

ἀξιωθέντες, Ἀγγέλων συμπολῖται γεγόνασι, καὶ τῶν ὑπὲρ λόγον, ἐπόπται καὶ μέτοχοι, ἐκτενῶς πρεσβεύοντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον Δογματικόν.

Ὢ τοῦ μεγίστου μυστηρίου! βλέπων τὰ θαύματα, ἀνακηρύττω τὴν θεότητα, οὐκ ἀρνοῦμαι τὴν ἀνθρωπότητα· ὁ γὰρ Ἐμμανουήλ, φύσεως μὲν πύλας ἤνοιξεν, ὡς φιλάνθρωπος· παρθενίας δὲ κλεῖθρα οὐ διέῤῥηξεν, ὡς Θεός, ἀλλ᾽ οὕτως ἐκ μήτρας προῆλθεν, ὡς δι᾽ ἀκοῆς εἰσῆλθεν· οὕτως ἐσαρκώθη, ὡς συνελήφθη· ἀπαθῶς εἰσῆλθεν, ἀφράστως ἐξῆλθε, κατὰ τὸν Προφήτην τὸν λέγοντα· αὕτη ἡ πύλη κεκλεισμένη ἔσται, οὐδεὶς οὐ μὴ διέλθῃ δι᾽ αὐτῆς, εἰμὴ μόνος Κύριος ὁ Θεὸς Ἰσραήλ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ἄστρα θεοφεγγῆ, ζωῆς τῆς μακαρίας, ὠράθητε ἐν Ἄθῳ, ἡμᾶς φωταγωγοῦντα, Πατέρες ἐνδεκάριθμοι.

Στ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Φοίνικες ἀρετῶν, καὶ ἐγκρατείας λύχνοι, ἐφάνητε τοῖς πᾶσι, ἀσκητικοῖς ἀγῶσιν, Ὅσιοι πεντάριθμοι.

Στ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Νίκην περιφανή, κατὰ τῶν ἀντιπάλων, ἀράμενοι ἐν ἄθλοις, τῆς ὑπὲρ νοῦν εὐκλείας, Μάρτυρες ἠξιώθητε.

Δόξα. Τριαδικόν.

Ἄκτιστε Παντουργέ, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ταῖς τῶν ἐνδεκαρίθμων, Ὁσίων ἱκεσίαις, ἐλέησον τὴν ποίμνην Σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Μαριάμ, τὸν κλῆρόν Σου τὸν θεῖον, ταῖς τῶν ἐνδεκαρίθμων, Ὁσίων μεσιτείαις, ἀπήμονα διάσῳζε.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὰ Ἀπολυτίκια ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι´ καὶ ψάλλομεν Ἀναστάσιμα Στιχηρὰ τοῦ β´ ἤχου δ´ καὶ τῶν Ἁγίων στ´, τὰ ἑξῆς. Ἦχος δ´. Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Ὡς ἀστέρες πολύφωτοι, ἑνδεκάριθμοι Ὅσιοι, ἀρετῶν λαμπρότητι διαλάμπετε, καὶ μοναστῶν τὰ συστήματα, φωτὶ τῆς ἀσκήσεως, καταυγάζετε ἀεί, ἐξαιρέτως δὲ Ἅγιοι, τὴν βλαστήσασαν, τοῦ Προδρόμου ὑμᾶς ἁγίαν Μάνδραν, τὴν ὑμᾶς ὁμοῦ τιμῶσαν, περιφανῶς καλλωπίζετε.

Ἐλλαμφέντες τῷ Πνεύματι, τῷ Ἁγίῳ μακάριοι, βίον τὸν ἰσάγγελον διηνύσατε, Πάτερ σοφὲ Διονύσιε, καὶ Νήφων θεόσοφε, Βυζαντίου ὁ Ποιμήν, μυροβλύτα Λεόντιε, καὶ Δομέτιε, καὶ Φιλόθεε γνώμη θεολήπτῳ, τῶν Ἀγγέλων συμπολῖται, ὡς ἀληθῶς ἀνεδείχθητε.

Μαρτυρίου τοῖς σκάμμασι, τὸν Χριστὸν ἐδοξάσατε, Ἰωάσαφ ἔνδοξε καὶ Μακάριε, καὶ Χριστοφόρε ἀήττητε, Παῦλε καὶ Γεννάδιε, καὶ θεόφρον Ἰωσήφ, καὶ Μαρτύρων ἰσότιμοι, ἀνεδείχθητε, μεθ᾽ ὧν χάριν καὶ ἔλεος αἰτεῖσθε, τοῖς ὑμᾶς ὁμοῦ τιμῶσιν, Ὁσιομάρτυρες πάντιμοι.

Ἕτερα Στιχηρὰ Προσόμοια. Ἦχος β´. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τοὺς θεοφόρους; τοὺς ἑνδεκαρίθμους τοῖς σώμασι, καὶ πεπληρωμένους τῆς χάριτος, ὡς Χριστοῦ θεράποντας ὁσίους· τοῦ Ἄθω, τὰ φωταυγῆ ἐγκαλλώπισματα, καὶ Μάνδρας τῆς τοῦ Προδρόμου θείους φοίνικας, τοὺς γεωργοῦντας ἀπαύστως, ἱεροῖς ἄγωσι, θείου Πνεύματος τοὺς καρπούς, καὶ πᾶσι πρεσβεύοντας, τῶν πταισμάτων τὴν συγχώρησιν.

Ποίοις ὑμνῳδιῶν κάλλεσι, στεφανώσωμεν τοὺς θεοφὸρους; τοὺς ἀγγελικῶς διαλάμψαντας, καὶ τοὺς Μοναστὰς καταυγάσαντας, ἀρετῶν ἁγίων ταῖς ἀκτῖσι· τοὺς λύχνους, τῆς θεωρίας καὶ τῆς πράξεως· τὰ σκεύη, τῆς ἐπιπνοίας τοῦ Παντάνακτος· τούτους γὰρ οἰκονόμους, καὶ λαμπροὺς φωστῆρας, τῇ εὐαγεστάτῃ ἡμῶν Μονῇ, Χριστὸς ἐδωρήσατο, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις μαρτυρικοῖς ᾄσμασι, μακαρίσωμεν τοὺς ἀριστέας; τοὺς ἐκ τῆς Μονῆς ἡμῶν λάμψαντας, καὶ ἐν τῇ ἀθλήσει δοξάσαντας, τοῦ Χριστοῦ τὸ ὄνομα τὸ θεῖον· τὰ ξίφη, τὰ τὴν ἀπάτην κατασφάξαντα· τὰ ῥόδα, τῆς εὐσεβείας τὰ πανεύοσμα· τούτων γὰρ τοῖς ἀγῶσι, τῶν πιστῶν καρδίας, θείοις δόγμασι βέβαιοι, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ δοξάσας τούτους θαύμασι.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον λαμπρῶς ἐξέλαμψαν, ὡς ἑνδεκάπυρσος λυχνία, οἱ ἑνδεκάριθμοι ἡμῶν Πατέρες, τῷ Τρισηλίῳ φωτί, τὰς διανοίας ἡμῶν πυρσεύοντες· ὡς υἱοὶ γὰρ φωτὸς πολιτευσάμενοι, τοῦ φωτὸς τὰ ἔργα ἐκφαίνουσι, τοῖς βοῶσιν αὐτοῖς· χαίρετε, οἱ τὰ πάντα ἀρνησάμενοι, καὶ ἀσκήσεως πόνοις, τοῦ Παρακλήτου τὴν χάριν λαβόντες, πεντάριθμοι Ὅσιοι· χαίρετε, οἱ ἐν ἀσθένείᾳ φύσεως, ἀθλητικῶς Χριστὸν μεγαλύναντες, Ὁσιομάρτυρες ἑξάριθμοι· χαίρετε, οἱ μετὰ τὸν θεῖον Βαπτιστήν, τῆσδε ἱερᾶς Μονῆς, ἔφοροι καὶ φύλακες. Ἀλλ᾽ ὦ Πατέρες μακάριοι, ἀπαύστως Χριστὸν δυσωπεῖτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν ἥλιος, ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (μγ΄ 9-14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό;

Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (γ΄ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (ε΄ 15-23, στ΄ 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α´.

Ἀγάλλου ἐν Κυρίῳ, ἡ τοῦ Βαπτιστοῦ Μονή, ὡς μήτηρ καλλίτεκνος, ἐπὶ τέκνοις εὐφραινομένη· ἰδοὺ γὰρ οἱ εὐκλεεῖς βλαστοί σου, οὓς τῷ γάλακτι τῆς ἀσκήσεως ἔθρεψας, καὶ τελείους ἄνδρας ἀνέδειξας, τοῦ πληρώματος Χριστοῦ, ἐνδεκάριθμον χορείαν συγκροτήσαντες, εἰς ἔπαινον πρόκεινται, ὡς καλῶς ἀριστεύσαντες· ὁσιότητι γὰρ βίου, καὶ ἀθλητικῇ εὐσθενείᾳ, ἡμᾶς τὰ κρείττονα παιδεύουσι, καὶ πρεσβεύουσι Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β´.

Τίς ἀνυμνήσει ἀξίως, τῶν ἀρετῶν ὑμῶν τὰς ἀναβάσεις, Πατέρες πεντάριθμοι; τῶν γεηρῶν γὰρ τὴν σχέσιν παριδόντες, τῷ θείῳ πόθῳ ἐπτερώθητε· καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἀράμενοι, ἐσταυρώσατε τὴν σάρκα, σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, καὶ σύμφυτοι γεγόνατε τῷ ὁμοιώματι τῆς δόξης τοῦ Χριστοῦ. Ἀλλ' ὦ Νήφων ἱερώτατε, καὶ Διονύσιε Πάτερ, καὶ Δομέτιε πνευματοφόρε, σὺν Λεοντίῳ καὶ Φιλοθέῳ, ἀξίους ἡμᾶς δείξατε, τῆς ἁγίας κλήσεως, ἵνα μέτοχοι γενώμεθα, τῶν αἰωνίων ἀγαθῶν, λιταῖς ὑμῶν δεόμεθα.

Ἦχος γ´.

Τὴν ἀσκητικὴν ὑμῶν ζωήν, τοῖς ἀθλητικοῖς παλαίσμασι, πολλῷ πλέον ἐλαμπρύνατε, Ὁσιομάρτυρες μακάριοι· τὴν γὰρ ἀνδρείαν τῆς πίστεως περιθέμενοι, τῆς εὐσεβείας τὸ μέγα μυστήριον ὡμολογήσατε, τυραννικὴν μανίαν μὴ πτήξαντες· καὶ βασάνων καὶ ποινῶν κατατολμήσαντες, τῆς ἀφθαρσίας τὸν στέφανον, παρὰ Χριστοῦ ἐδέξασθε, ὑπὲρ Αὐτοῦ θανόντες προθυμότατα. Ἀλλ' ὡς τῆς ἄνω ζωῆς συμμέτοχοι, Μακάριε καὶ Χριστόφορε, καὶ Παῦλε καὶ Ἰωάσαφ, σὺν Γενναδίῳ καὶ Ἰωσήφ, αὐτῆς καὶ ἡμᾶς ἀξιώσατε, ταῖς πρὸς Χριστὸν ὑμῶν δεήσεσι.

Ἦχος δ´.

Τὴν τῶν Πατέρων ἑνδεκάχορδον λύραν, τὴν μελῳδοῦσαν ἡμῖν, τῆς ἐν Χριστῷ ζωῆς τὴν τελειότητα, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν· οὗτοι γὰρ οἱ μακάριοι, ὡς ἐλαῖαι κατάκαρποι, πεφυτευμέναι ἐν τῇ τοῦ Βαπτιστοῦ Ἰωάννου Μονῇ, τῶν ἀρετῶν τὴν ἱλαρότητα, καὶ τοῦ θείου ἐλέους τὴν χάριν, παρέχουσι τοῖς βοῶσι· στῖφος ἁγιόλεκτον, χορεία δεδοξασμένη, τῷ Πανοικτίρμονι Χριστῷ πρεσβεύετε, διδόναι ἡμῖν πταισμάτων λύσιν, καὶ παθῶν ἐκλύτρωσιν.

Δόξα. Ἦχος πλ. α΄.

Σήμερον ὁ περίβλεπτος Ἄθως, τὸ ἐμφανὲς ὄρος τῆς Θεοτόκου, προφητικῶς ῥῆξον εὐφροσύνην, καὶ θείαν ἀγαλλίασιν· ἰδοὺ γὰρ ἐν τῇ μεσημβρινῇ ὑπωρείᾳ σου, ἡ τοῦ Προδρόμου σεπτὴ Μονή, ὡς ἄμπελος εὐκληματοῦσα δείκνυται· ἐξ αὐτῆς γὰρ ἐβλάστησαν, ὡς βότρυες νοητοὶ ἑνδεκάριθμοι Ὅσιοι Πατέρες· οἱ τῆς πίστεως ἀποθλιβέντες τοῖς ληνοῖς, κρατῆρα οὐράνιον, τοῖς μονασταῖς ἐκέρασαν βοῶσι· Κύριε, βλύσον ἡμῖν τῆς ἀφθαρσίας τὸν γλυκασμόν, καὶ τῆς ἀφέσεως τὰ νάματα, ταῖς τῶν Ὁσίων Σου δεήσεσι.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομεν Σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομεν Σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον, τὸ α΄ Ἀναστάσιμον τοῦ ἤχου καὶ εἶτα τῶν Ἁγίων τὰ ἑξῆς. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ τῶν Ὁσίων χορός, τῆς ὁσιότητος τὰ ἄνθη τὰ εὔοσμα, λειμῶνες πράξεων θείων, οἱ τῆς ἀγάπης πυρσοί, ταπεινοφροσύνης ὑποδείγματα· οἱ κόσμον μισήσαντες, καὶ Χριστὸν ἀγαπήσαντες· οἱ ἐν ἀσκήσει, καὶ ἀθλήσει ἐκλάμψαντες, καὶ τῆς πίστεως, τὴν ἰσχὺν πᾶσι δείξαντες· δῆμος ὁ ἑνδεκάπυρσος, χορὸς οὐρανόπλοκος, τὸ θεοπόθητον στῖφος, τὸ θεοσύλλεκτον ἄθροισμα· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Χαίροις ἡ πενταυγὴς λαμπηδών, τῆς ἀπαθείας τῷ φωτὶ καταλάμπουσα, καρδίας ἐσκοτισμένας, καὶ πρὸς ἀγάπην Χριστοῦ, ἡμᾶς ὁδηγοῦσα βίῳ κρείττονι· σοφὲ Διονύσιε, τῆς Μονῆς κτίτωρ πρώτιστε, Νήφων θεόφρον, Βυζαντίου ὁ Πρόεδρος, καὶ Δομέτιε, θείου Πνεύματος ὄργανον, φίλε Θεοῦ Φιλόθεε, καὶ θεῖε Λεόντιε, ὁ ἐκ τοῦ τάφου σου βλύσας, εὔοσμον μύρον ἐν χάριτι· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ θεῖον ἔλεος.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις τῶν Ἀθλητῶν ὁ χορός, οἱ ἐν ἀσκήσει διαπρέψαντες πρότερον, καὶ εἶτα ἄθλοις ἁγίοις, καταβαλόντες ἐχθρόν, θείᾳ συμμαχίᾳ κραταιότατα· Μακάριε ἔνδοξε, Ἰωσὴφ καὶ Γεννάδιε, καὶ Ἰωάσαφ, Χριστοφόρε

θεόληπτε, Παῦλε Ὅσιε, τῶν Μαρτύρων ἰσότιμοι· θύματα ἱερώτατα, καὶ θεία καρπώματα, καὶ προσφοραὶ καὶ θυσίαι, τοῦ Βασιλέως τῆς κτίσεως· Ὅν νῦν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τίς ἐπαξίως λαλήσει, τῶν ἀγώνων ὑμῶν τὰ τρόπαια, Πατέρες ἑνδεκάριθμοι; τὴν γὰρ φύσιν ἐλάθετε, ὑπὲρ φύσιν ἀγωνισάμενοι· καὶ τῆς καθ' ὁμοίωσιν εἰκόνος, τοὺς χαρακτῆρας ἐμορφώσατε, ὡς πληρωταὶ τοῦ θείου θελήματος. Τὶ οὖν ὑμᾶς καλέσωμεν; Ἀγγέλους ἐν σώματι, χαρίτων κειμήλια, ἤ τοῦ Χριστοῦ θεοειδεῖς θεράποντας; Ὦ πρεσβεύσατε δεόμεθα, διδόναι ἡμῖν ἱλασμόν, καὶ τὸ θεῖον ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἄφραστως συλλαβούσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, Σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀναστάσιμον Ἀπολυτίκιον καὶ τῶν Ἁγίων τὰ ἑξῆς.**

Ἀπολυτίκιον παλαιόν. Ἦχος α΄. Τοὺς τρεῖς μεγίστους φωστῆρας.

Τῆς εὐσεβείας τοὺς πύργους, Μονῆς Προδρόμου τὰ θρέμματα, τοὺς τῆς Ἐκκλησίας ὁπλίτας, τοῦ Ὄρους Ἄθω σεμνώματα· Νήφωνα θεῖον, Διονύσιον, Παῦλον, σὺν τῷ Χριστοφόρῳ τε Ἰωάσαφ, σοφὸν αὖθις Μακάριον, Φιλόθεον τὸν μέγαν καὶ πνευματοφόρον Δομέτιον, σὺν τῷ κλεινῷ Λεοντίῳ, Ἰωσήφ τε καὶ Γεννάδιον· πάντες οἱ ἐν ταύτῃ τῇ θείᾳ Μονῇ ἐνασκούμενοι, ὕμνοις τιμήσωμεν, αὐτοὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσι.

Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἑνδεκάριθμον δῆμον τῶν Ὁσίων τιμήσωμεν, Μονῆς τῆς τοῦ Προδρόμου τὰ λαμπρὰ καλλωπίσματα· Ὁσίων μὲν πεντάριθμον χορόν, Μαρτύρων δὲ ἑξάδα εὐκλεῆ· ὡς ἀστέρες γὰρ ἀσκήσεως νοητοί, λαμπρύνουσι τοὺς κράζοντας· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ δωρουμένῳ δι' ὑμῶν, ἡμῖν πταισμάτων ἄφεσιν.

Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῶν ἐν Ἄθῳ Ὁσίων τὰ ἄνθη μέλψωμεν, Διονύσιον Νήφωνα καὶ Δομέτιον, Ἰωάσαφ τὸν κλεινὸν καὶ τὸν Μακάριον, σὺν Φιλοθέῳ Ἰωσήφ, Παῦλον Λεόντιον ὁμοῦ, Γεννάδιον Χριστοφόρον, σὺν τῷ σοφῷ Νικοδήμῳ, ὡς τῆς Μονῆς ἡμῶν κλεΐσματα.

Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς Σέ· χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητήν Σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπης, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον Σου.

## Ἀπόλυσις.

# ΟΡΘΡΟΣ

**Μετὰ τὴν α΄ Στιχολογίαν, τά Ἀναστάσιμα Καθίσματα.**

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα τῶν Ἁγίων. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Τοῦ κόσμου τὰ τερπνά, νουνεχῶς ἐκφυγόντες, προσήλθετε σπουδή, τῇ Μονῇ τοῦ Προδρόμου, καιροῖς ἰδίοις Ἅγιοι, καὶ ζωὴν τὴν ἰσάγγελον, διανύσαντες, πρὸς ὑπερκόσμιον λῆξιν, μετετέθητε, ὑπὲρ ἡμῶν δυσωποῦντες, Χριστὸν τὸν Φιλάνθρωπον.

Δόξα. Ὅμοιον.

Χορὸς θεοειδής, θεοφόρων Πατέρων, καὶ στῖφος ἱερόν, Ἀθλητῶν ἐξαρίθμων, συμφώνως ἀνυμνείσθωσαν, ὡς μεσῖται πρὸς Κύριον, τῆς Μονῆς ἡμῶν, μετὰ τὸν Πρόδρομον ὄντες, καὶ πρεσβεύοντες, διὰ παντὸς τῷ Σωτῆρι, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὡς ὄρος ἐμφανές, καὶ περίοπτον Κόρη, ἐν οἴκῳ τοῦ Θεοῦ, ὑπερύψωσαι ὄντως, ὡς πάλαι προηγόρευσεν, Ἠσαΐας ὁ ἔνθεος· ὅθεν φύλαττε, τοῦτο τὸ Ὄρος Παρθένε, πάσης θλίψεως, ὅπερ ἀπολεκτὸν κλῆρον, Σῆς χάριτος ἔδειξας.

**Ἀντὶ Ἀμώμου, ὁ Πολυέλεος, μεθ᾽ ὅν τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ Ἤχου καὶ τὸ Κάθισμα τῶν Ἁγίων. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.**

Ἑνδεκάριθμος δῆμος πανευκλεής, Ἀσκητῶν θεοφόρων καὶ Ἀθλητῶν, δυνάμει τῇ ἄνωθεν, ὑπὲρ φύσιν ἠγώνισται, καὶ τὰς ἀρχὰς τοῦ σκότους, εἰς τέλος κατήσχυνε, καὶ ἀμοιβῶν πλουσίων, θεόθεν ἠξίωται· ὅθεν ὁμοφώνως, συμφωνία ᾀσμάτων, αὐτοὺς μακαρίσωμεν, ὡς Κυρίου θεράποντας, πρὸς αὐτοὺς ἀνακράζοντες· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐφημοῦσιν ἐν πίστει, ὑμῶν τὴν συνέλευσιν.

Δόξα. Ὅμοιον.

Τὰ φθαρτὰ καταλείψαντες ἐπὶ γῆς, τῶν Ἀγγέλων μετήλθετε τὴν ζωήν, νηστείαις καὶ δάκρυσι, καὶ παννύχοις δεήσεσι, καὶ τῆς σαρκὸς τὰ πάθη, εἰς τέλος νεκρώσαντες, τῆς ἀπαθείας μύσται, θεόπνευστοι ὤφθητε· ὅθεν διαφόροις, διαπρέψαντες χρόνοις, εἰς μίαν συνήφθητε, παναγίαν ὁμήγυριν, θεοφόροι μακάριοι· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ,

τῶν πταισμάτων δοῦναι τὴν συγχώρησιν, τοῖς ἑορτάζουσι πόθῳ, ὑμῶν τὴν πανήγυριν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἀλατόμητον ὄρος ὁ Δανιήλ, κιβωτὸν ἁγιάσματος ὁ Δαβίδ, λυχνίαν καὶ τράπεζαν, καὶ λαβίδα καὶ κλίμακα, καὶ κεκλεισμένην πύλην, καὶ θρόνον πυρίμορφον, Προφητικαὶ φωναί Σε, προέγραψαν Ἄχραντε· Σὺ γὰρ τὸν ἐν νόμῳ, πολυτρόπως λαλοῦντα, ἀφράστως κυήσασα, Προφητῶν τὰ αἰνίγματα, ἱερῶς ἐπεσφράγισας, παρέχουσα τῷ νέῳ λαῷ, οἷα Μήτηρ τοῦ Θεοῦ Πανάμωμε, φωτισμὸν σωτηρίας, καὶ χάριν καὶ ἔλεος.

**Οἱ Ἀναβαθμοὶ τοῦ ἤχου.**

Προκείμενον. *Ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει Σε.*

Στ. *Κύριε ὁ Θεός μου, ἐπὶ Σοὶ ἤλπισα.*

**Τό Γ᾽ Ἑωθινὸν Εὐαγγέλιον.**

**Ἀνάστασιν Χριστοῦ θεασάμενοι…**

**Ὁ Ν᾽ Ψαλμός.**

Δόξα. Ταῖς τῶν Ἀποστόλων...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στ. *Ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.*

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν, τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

**Εἶτα οἱ Κανόνες· ὁ Ἀναστάσιμος εἰς δ΄, τῆς Θεοτόκου εἰς β΄ καὶ τῶν Ἁγίων οἱ δύο, εἰς η΄.**

**Κανὼν πρῶτος τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχὶς: *Ἑνδεκάριθμον δῆμον ὑμνέῳ. Γερασίμου.***

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ἐξ ὕψους μοι δώρησαι, Λόγε Θεοῦ Ὑπεράγαθε, σοφίας τὴν ἔλλαμψιν, ἵνα ὑμνήσω φαιδρῶς, τῶν Ὁσίων Σου, καὶ Ὁσιομαρτύρων, τὴν θεῖαν ὁμήγυριν, οὓς ἐθαυμάστωσας.

Νοὸς καθαρότητα, καὶ πολιτείας λαμπρότητα, ἐκτήσασθε Ὅσιοι, τῇ τοῦ Προδρόμου Μονή, ἐνσκηνώσαντες, καὶ πρὸς σκηνὰς τὰς ἄνω, λαμπρῶς μετετέθητε, καλῶς ἀσκήσαντες.

Δοχεία τοῦ Πνεύματος, ἀσκητικῶς ἀνεδείχθητε, καὶ πίστει ἀθλήσαντες, ὑπὲρ τῆς δόξης Χριστοῦ, κατησχύνατε, Ἀγαρηνῶν τὴν πλάνην, διὸ ὑμᾶς μέλπομεν, Ὁσιομάρτυρες.

Θεοτοκίον.
Ἐκ Σοῦ ἀνατέταλκε, δικαιοσύνης ὁ Ἥλιος, σαρκὸς ὁμοιώματι, Παρθένε Ἄχραντε· ὅθεν φώτισον, Αὐτοῦ ταῖς φωταυγείαις, τυφλώττουσαν πάθεσι, νῦν τὴν καρδίαν μου.

Κανὼν δεύτερος, οὗ ἡ ἀκροστιχίς· *Θεοφόρους ἀνερᾶς νῦν μέλπω. Γερασίμου.*
Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.
Θείου φωτὸς τὰς ἀστραπὰς δεχόμενοι, καὶ σὺν Ἀγγέλων χοροῖς, Ὅσιοι Πατέρες, καὶ Ὁσιομάρτυρες, ἀεὶ συναυλιζόμενοι, δυσωπεῖτε ἀπαύστως, λύσιν πταισμάτων δωρήσασθαι, τοῖς εἰλικρινῶς ὑμᾶς μέλπουσιν.

Ἐν διαφόροις χρόνοις διαπρέψαντες, πολυειδεῖ ἀρετῇ, τῆς ἀκαταλύτου, δόξης ἠξιώθητε, Πατέρες ἑνδεκάριθμοι, παρ’ ἡμῶν ἐν μία δέ, ἡμέρα ἤδη γεραίρεσθε, οἷα κατὰ πνεῦμα ὁμαίμονες.

Ὁλολαμπεῖς ὥσπερ ἀστέρας κέκτηται, ἡ τοῦ Προδρόμου Μονή, ὑμᾶς θεοφόροι, ὡς Θεοῦ θεράποντας, ἀκτῖσι δὲ λαμπρύνεται, τῆς ὑμῶν πολιτείας, καὶ κοινὸν ὕμνον ἑόρτιον, ᾄδει ὑμῖν σήμερον Ἅγιοι.

Θεοτοκίον.
Φωτὸς δοχεῖον τοῦ ὑπὲρ κατάληψιν, ὤφθης Πανάμωμε, ταῖς τῆς παρθενίας, καλλοναῖς ἐκλάμπουσα· ἐκ Σοῦ γὰρ ὁ Ὑπέρθεος, τοῖς βροτοῖς ὡμοιώθη, σάρκα λαβὼν ἐξ αἱμάτων Σου, καὶ ἡμᾶς θανάτου ἐῤῥύσατο.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.
Κυρίῳ στεῤῥῶς ἀκολουθοῦντες, ὦ Νήφων σοφὲ Ἀρχιερεῦ, θεόφρον Διονύσιε, Δομέτιε, Λεόντιε, καὶ ὅσιε Φιλόθεε, σκεύη τῆς χάριτος ὤφθητε.

Ἀθλήσει δοξάσαντες τὸν Κτίστην, Μακάριος, Παῦλος, Ἰωσήφ, καὶ ὁ κλεινὸς Γεννάδιος, καὶ Ἰωάσαφ ἅμα δέ, καὶ Χριστόφορος ὤφθησαν, ἀΰλου δόξης συμμέτοχοι.

Ῥωννύμενοι σθένει τοῦ Σωτῆρος, Ὁσίων πεντάριθμος χορός, καὶ οἱ Ὁσιομάρτυρες, Κυρίου οἱ ἀήττητοι, τὰς μεθοδείας ἔλυσαν, τοῦ πονηροῦ κοσμοκράτορος.

Θεοτοκίον.
Ἰσχὺν ἀπροσμάχητον Παρθένε, τὴν Σὴν κεκτημένοι ἀρωγήν, Πατέρες οἱ θεόφρονες, ἀσκητικῶς διήνυσαν, τῶν ἀρετῶν τὰ σκάμματα, καὶ τῷ Θεῷ εὐηρέστησαν.

Κανὼν δεύτερος. Ὁ στερεώσας κατ᾽ ἀρχάς.
Ὅμιλος θεῖος καὶ σεπτός, ὁμήγυρις μακαρία, ἀρετῶν κεκοσμημένοι τῷ πλούτῳ, ἀνεδείχθητε ἡμῖν, Πατέρες ἑνδεκάριθμοι· διὸ ὑμᾶς συμφώνως, μιᾷ ἡμέρᾳ γεραὶρομεν.

Ῥείθροις ἱδρώτων ἱερῶν, καταρδευθέντες Πατέρες, ὥσπερ δένδρα ἐν πηγαῖς τῶν ὑδάτων, ἐξηνέγκατε ἡμῖν, καρποφορίαν κρείττονα, ἐκτρέφουσαν καρδίας, καὶ τὰς ψυχὰς ἡμῶν πάντοτε.

Οἱ τοῦ Προδρόμου τῆς Μονῆς, ἀειλαμπέστατοι λύχνοι, ἡ πεντὰς τῶν θεοφόρων Πατέρων, ἀνυμνείσθωσαν φαιδρῶς, σὺν τοῖς Ὁσιομάρτυσιν, ὡς πρέσβεις καὶ μεςῖται, πρὸς τὸν Χριστὸν ἡμῶν ἔνθεοι.

Θεοτοκίον.
Ἰλύος καθαρὸν παθῶν, τὴν ῥυπωθεῖσαν ψυχήν μου, οἰκτιρμῶν Σου Θεοτόκε τοῖς ῥείθροις, καὶ νοός μου τὴν ἀχλύν, ἀπέλασον Πανάμωμε, φωτὶ τῆς μετανοίας, ἐκδυσωπῶ Σε καὶ σῶσόν με.

Καταβασία. Τοὺς Σοὺς ὑμνολόγους.

Τὸ Ἀναστάσιμον Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Κάθισμα τῶν Ἁγίων. Ἦχος γ΄. Θείας πίστεως.
Θεῖος ὅμιλος, συνδεδεμένος, βίου κρείττονος, τῇ συμφωνίᾳ, ἑνδεκάριθμοι Πατέρες ὡράθητε, πολυειδῶς τῷ Σωτῆρι λατρεύσαντες, τῶν ἀρετῶν ποικιλίᾳ τῆς χάριτος· καὶ νῦν ἄφεσιν, αἰτεῖσθε ἡμῖν μακάριοι, καὶ λύτρωσιν παθῶν καὶ μέγα ἔλεος.
Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.
Θείαν στάμνον Σε, καὶ μανναδόχον, καὶ ἑπτάφωτον, Ἁγνὴ λυχνίαν, ἐν τῷ νόμῳ οἱ Προφῆται ἐκήρυττον· τὸν γὰρ Σωτῆρα τῶν ὅλων κυήσασα, ἐκ τῆς ἀρχαίας ἀρᾶς ἡμᾶς ἔσωσας, Κόρη Πάναγνε, διὸ Σὲ πιστῶς δοξάζομεν, ἀεὶ οἱ σεσῳσμένοι τῇ κυήσει Σου.

ᾨδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.

Θεῖον θεασάμενος Ὅσιε φῶς, θείαν εὐδοκίαν μηνύον σοι, Μονὴν ἐγείρεις, τῷ Προδρόμῳ τοῦ Χριστοῦ, παμμάκαρ Διονύσιε, ὡς ψυχῶν λιμένα ἀχείμαστον.

Μέγας ἀνεδείχθης ἐν ἀρεταῖς, Νήφων Ἱεράρχα μακάριε, ἡμᾶς παιδεύων, ταπεινοῦσθαι ἐν Χριστῷ, τῆς ταπεινοφροσύνης σου, Πάτερ τῷ λαμπρῷ ὑποδείγματι.

Ὅσιος καὶ ἄκακος καὶ καθαρός, Πάτερ τῇ καρδίᾳ γενόμενος, μύρον εὐῶδες, ἐκ τοῦ τάφου σου ἡμῖν, ἀνέβλυσας Λεόντιε, οἷα μυροθήκη τοῦ Πνεύματος.

Θεοτοκίον.

Νέκρωσον τὸ φρόνημα τὸ τῆς σαρκός, τὸ ταλαιπωροῦν με Πανάμωμε, καὶ δίδου φόβον, τῇ ψυχῇ μου θεϊκόν, ὡς ἂν στεῤῥῶς ἐκκρούσωμαι, τὰ τοῦ ἀρχεκάκου βουλεύματα.

Κανὼν δεύτερος. Σὺ μου ἰσχύς.

Στόμα σεπτόν, Ὁσιομάρτυρες ἔνδοξοι, πρὸ βημάτων, ἀσεβῶν ἀνοίξαντες, ὡμολογήσατε τὸν Χριστόν, σὺν τῷ Μακαρίῳ, ὁ Ἰωσὴφ καὶ Γεννάδιος, καὶ λύσαντες τῆς πλάνης, εὐθαρσῶς τὴν ἀπάτην, αἰωνίου ζωῆς ἠξιώθητε.

Ἀθλητικῶς, καταβαλόντες τὸν τύραννον, Χριστόφορε, καὶ Παῦλε μακάριε, καὶ Ἰωάσαφ ὁ εὐκλεής, νικηταὶ πρὸς δόξαν, τὴν ὑπερκόσμιον ἤρθητε, καὶ νῦν σὺν Ἀσωμάτοις, ἐκβοᾶτε ἀπαύστως· τῇ δυνάμει Σου δόξα Φιλάνθρωπε.

Νόμῳ Θεοῦ, ἀσκητικῶς βιωσάμενοι, καὶ τὰ πάθη, τῆς σαρκὸς νεκρώσαντες, ζωῆς ἠνθήσατε τοὺς καρπούς, Δομέτιε Πάτερ, τοῦ Παρακλήτου κειμήλιον, καὶ φίλος φερωνύμως, τοῦ Θεοῦ ἀνεδείχθης, θεοφόρε Φιλόθεε Ὅσιε.

Θεοτοκίον.

Ἐκ Σοῦ Ἁγνή, σωματωθεὶς ὁ Ὑπερθεός, διὰ σπλάγχνα, οἰκτιρμῶν ἀνέπλασε, τὴν συντριβεῖσαν φύσιν ἡμῶν· ὅθεν συντριβέντα, κἀμὲ πολλοῖς ὀλισθήμασιν, ἀνόρθωσον Παρθένε, ὡς πηγὴ συμπαθείας, καὶ δεινῶν ἐννοιῶν με ἀπάλλαξον.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Δοχεία πολύτιμα, τοῦ Παναγίου Πνεύματος, ὤφθητε Πατέρες θεοφόροι, ἀνακαθάραντες νοῦν καὶ διὰνοιαν, καὶ ἡμᾶς πρὸς βίον καθαρόν, λόγοις τε καὶ πράξεσιν, ἐκπαιδεύετε πάντοτε.

Ἡμέρα ἑόρτιος, ἡμῖν νῦν ἐπεδήμησε, τοῖς ὑμῖν προστρέχουσι Πατέρες· ὑμᾶς μία γὰρ μνήμη γεραίρομεν, ὥσπερ ὁδηγοὺς ἡμῶν σοφούς, καὶ θεία ἀρχέτυπα, ἱερῶν ἐπιδόσεων.

Μαρτύρων ἰσότιμοι, κλεινοὶ Ὁσιομάρτυρες, καὶ Ἁγίων πάντων συμπολῖται, πεντὰς Ὁσίων ἀξιοθαύμαστε, ῥύσασθε παντοίων πειρασμῶν, ταύτην τὴν Μονὴν ὑμῶν, καὶ σκανδάλων τοῦ ὄφεως.

Θεοτοκίον.
Ὁ οἶκος ὁ ἔμψυχος, τὸ πάμφωτον παλάτιον, τοῦ Παμβασιλέως καὶ Σωτῆρος, ἡ Θεοτόκος Κόρη ὑμνείσθω μοι, Ἄθω προστασία ἡ θερμή, καὶ πάντων ἀντίληψις, τῶν βροτῶν καὶ διάσωσμα.

Κανὼν δεύτερος. Ἵνα τί με ἀπώσω.
Ἐκ τοῦ κόσμου φυγόντες, διαφόροις ἔτεσιν ὧδε ἐδράμετε, καὶ ἐν πολυτρόποις, ἀρετῶν κατορθώμασιν Ὅσιοι, θείων χαρισμάτων, κατηξιώθητε θεόθεν, καὶ θαυμάτων τὴν χάριν ἐδέξασθε.

Ῥαντισθέντες αἱμάτων, ταῖς ῥοαῖς ἐξάριθμοι Ὁσιομάρτυρες, ὡς σφαγιασθέντες, δι᾽ ἀγάπην Χριστοῦ τοῦ Παντάνακτος, Τούτῳ ὡς θυσίαι, προσήχθητε γνώμῃ ἀνδρείᾳ, καὶ ζωῆς τῆς ἀλήκτου ἐτύχετε.

Ἀκαθαίρετοι πύργοι, Ὀρθοδόξου πίστεως Ὁσιομάρτυρες, ἐν ἐσχάτοις χρόνοις, ἐναθλήσαντες ὄντως γεγόνατε, καὶ καύχημα μέγα, τοῦ Βαπτιστοῦ τῆς θείας Μάνδρας, ἥτις μέλπει ὑμᾶς κοινοῖς ᾄσμασι.

Θεοτοκίον.
Σωματοῦται ἀφράστως, ὁ ἀπεριόριστος φύσει Θεότητος, ἐκ τῶν Σῶν αἱμάτων, καὶ ὁρᾶται τῷ κόσμῳ ὡς ἄνθρωπος, σῴζων Θεοτόκε, τοὺς ὀρθοδόξως προσκυνοῦντας, τοῦ Σοῦ τόκου τὸ μέγα μυστήριον.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.

Ναμάτων θείων πληρούμενοι, Πατέρες θεοφόροι πεντάριθμοι, ἡμῖν ὀμβρήσατε, τὸν γλυκασμὸν τὸν οὐράνιον, καὶ δρόσον ἀφθαρσίας, ἡμᾶς εὐφραίνουσαν.

Ὑπὲρ Χριστοῦ θανατούμενοι, ὡς ἄρνες λογικοὶ θερμῷ ἔρωτι, Ὁσιομάρτυρες, τροπαιοφόροι ἀνήλθετε, πρὸς δόξαν τὴν ἀγήρω, ζωὴν πρὸς ἄληκτον.

Μετ᾽ ἐγκωμίων γεραίρουσα, ὑμᾶς ὦ ἑνδεκάριθμοι Ἅγιοι, χαίρει καὶ γάνυται, ὑμῶν τοῖς θείοις παλαίσμασι, τοῦ Βαπτιστοῦ ἡ Μάνδρα, ἡ περιώνυμος.

Θεοτοκίον.

Ναὸς Θεοῦ φωτοστόλιστος, ἐδείχθης Θεοτόκε Πανάχραντε, Αὐτὸν κυήσασα, ἐκ τῶν ἀχράντων αἱμάτων σου· διὸ κἀμὲ δοχεῖον, δεῖξον τῆς χάριτος.

Κανὼν δεύτερος. Ἱλασθητί μοι Σωτήρ.

Ναοὶ Θεοῦ μυστικῶς, ἐδείχθησαν θείαις πράξεσιν, ὁ Νήφων ὁ ἱερός, καὶ ὁ Διονύσιος, ὁ θεῖος Δομέτιος, σὺν τῷ Λεοντίῳ, Φιλόθεος ὁ Ὅσιος.

Ὑμνήσωμεν ἐν ᾠδαῖς, Μακάριον καὶ Γεννάδιον, καὶ Παῦλον καὶ Ἰωσήφ, Χριστοφόρον ἔνδοξον, Ἰωάσαφ ἅμα δέ, οἷα τοῦ Σωτῆρος, εὐκλεεῖς Ὁσιομάρτυρας.

Νεκρώσαντες τῆς σαρκός, τὸ ἐπαιρόμενον φρόνημα, τῆς αἰωνίου ζωῆς, τὴν χάριν ἐδέξασθε, ὡς σοφῶς βιώσαντες, ἐν τῇ ποίμνῃ ταύτῃ, θεοφόροι ἑνδεκάριθμοι.

Θεοτοκίον.

Μαρία Μῆτερ Θεοῦ, ἁμαρτωλῶν καταφύγιον, καὶ πάντων Χριστιανῶν, σκέπη καὶ διάσωσμα, ῥῦσαι τῶν δικτύων με, τοῦ δεινοῦ βελίαρ, καὶ φωτί με θείῳ λάμπρυνον.

Καταβασία. Τὴν θείαν ταύτην.

**Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Οἱ ἐν τῇ Μάνδρᾳ Βαπτιστοῦ τῇ ἁγίᾳ, ἐν διαφόροις διαλάμψαντες χρόνοις, δι᾽ ἐνάρετου βίου καὶ ἀθλήσεως, Ὅσιοι πεντάριθμοι, ὡς ἡμῶν ποδηγέται, καὶ Ὁσιομάρτυρες, οἱ στεῤῥοὶ τοῦ Σωτῆρος, κοινοῖς ἐν ὕμνοις ἅμα παρ᾽ ἡμῶν, μιᾷ ἡμέρᾳ, ὁμοῦ εὐφημείσθωσαν.

**Ὁ Οἶκος.**

Οὐρανὸς ἀληθῶς ὡς πολὺφωτος, τοῦ Προδρόμου ἡ Μονὴ ἤδη πρόκειται, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, ἐν Πνεύματι Ἁγίῳ· ὡς γὰρ μέγαν ἑωσφόρον προβάλλεται, τῆς μετανοίας τὸν θεόσοφον κήρυκα, Ἰωάννην τὸν πάνυ, τὸν ἐν γεννητοῖς γυναικῶν μείζονα· καὶ ὡς ἄστρα φαεινά, τῶν ἑνδεκαρίθμων αὐτῆς τέκνων τὴν ἡγιασμένην χορείαν, ὧν τὴν μνήμην ἄγει εὐφραινομένῃ τῷ πνεύματι· οὗτοι γὰρ οἱ μὲν ἐν ἀσκήσει, οἱ δὲ ἐν ἀθλήσει, τὸν Χριστὸν ἐδόξασαν καὶ θαυμαστῶς παρ' Αὐτοῦ ἀντιδοξασθέντες, πᾶσι πρεσβεύουσι τὰ κρείττονα· οἵτινες κοινοῖς ὕμνοις παρ' ἡμῶν χρεωστικῶς, μιᾷ ἡμέρᾳ ὁμοῦ εὐφημείσθωσαν.

**Συναξάριον. Πρῶτον τὸ τῆς ἡμέρας καὶ εἶτα τὸ ἑξῆς:**

**Τῇ αὐτῇ ἡμέρᾳ, Γ΄ Κυριακὴ τοῦ Ματθαίου, μνήμην ἐπιτελοῦμεν τῶν ἑνδεκαρίθμων Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἐν τῷ καθ' ἡμᾶς Ἱερῷ Κοινοβίῳ τοῦ Ἁγίου Διονυσίου διαλαμψάντων. Ὁσίων μὲν πέντε· Διονυσίου, Νήφωνος, Δομετίου, Λεοντίου καὶ Φιλοθέου. Ὁσιομαρτύρων δὲ ἑτέρων ἕξ· Μακαρίου, Ἰωάσαφ, Χριστόφορου, Ἰωσήφ, Γενναδίου καὶ Παύλου.**

Στίχοι.
Εἰς τοὺς Ὁσίους.
*Χριστοῦ τὸν ζυγὸν βαστάσαντες Πατέρες,*
*Συμμορφοι Αὐτοῦ ὡράθητε τῆς δόξης.*
Εἰς τοὺς Ὁσιομάρτυρας.
*Ἑξαπτερύγων τῆς χαρᾶς ἀξιοῦνται,*
*Οἱ ἑξάριθμοι ἀθλήσαντες ὁπλῖται.*
*Θείων ἄγυριν Πατέρων ἐν ἤματι ὑμνέειν θέμις.*

**Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.
Ἐνδυσάμενοι, φωτὸς τὰ ὅπλα Ὅσιοι, κατεπαλαίσατε, τοῦ σκότους τὸν ἀρχηγόν, καὶ νίκης δεξάμενοι, βραβεία ἄνωθεν, ἀναμέλπετε· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἰ.

Ὡς ἀήττητοι, Χριστοῦ Ὁσιομάρτυρες, πᾶσαν ἠνέγκατε, τῶν δυσμενῶν προσβολήν, καὶ πόνοις θλιβόμενοι, Χριστῷ

ἐκράζετε· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Γέρας ἔνθεον, καὶ θεῖον ἀγαλλίαμα, ὑμᾶς ἐκτήσατο, ἡ τοῦ Προδρόμου Μονή, σοφοὶ ἑνδεκάριθμοι, Πατέρες Ὅσιοι· διὸ σήμερον, ὑμᾶς ὁμοῦ γεραίρουσα, τὸν Σωτῆρα μεγαλύνει.

Θεοτοκίον.
Ἐξ αἱμάτων Σου, παρθενικῶν σεσάρκωται, ὁ πάντων Κύριος, δίχα τροπῆς καὶ φυρμοῦ, Παρθένε καὶ ἔσωσε, τοὺς πίστει κράζοντας· χαῖρε Δέσποινα, δι᾿ ἧς φθορᾶς ἐῤῥύσθημεν, καὶ τῆς πάλαι καταδίκης.

Κανὼν δεύτερος. Θεοῦ συγκατάβασιν.
Ἐν ἔργοις χρηστότητος, καὶ μετανοίας Νήφων μακάριε, ἐν Δακίᾳ ἐκλάμψας, Ὀρθοδοξίας φαίνεις τὴν ἔλλαμψιν, καὶ διεγείρεις βοᾶν τοὺς θεόφρονας· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Λαμπτῆρες ἀσκήσεως, ταύτῃ τῇ Μάνδρᾳ Πατέρες ὤφθητε, Διονύσιε μάκαρ, σὺν Δομετίῳ, θεῖε Λεόντιε, καὶ Φιλοθέῳ ἐνθέως κραυγάζοντες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Παθῶν κοινωνήσαντες, Ὁσιομάρτυρες δι᾿ ἀθλήσεως, τοῦ Θεοῦ καὶ Σωτῆρος, Αὐτοῦ τῆς δόξης κατηξιώθητε, καὶ σὺν Ἀγγέλοις χορεύοντες ψάλλετε· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.
Ὡς Μήτηρ πανάφθορος, τοῦ Ζωοδότου καὶ Πανοικτίρμονος, ζώωσόν με Παρθένε, νενεκρωμένον τοῖς παραπτώμασιν, ὡς ἂν ὑμνῶ Σε σῳζόμενος Ἄχραντε, ὡς σωτηρίαν ἡμῶν, καὶ ἀσφαλῆ προσφυγήν.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.
Ῥήματα πληροῦντες τοῦ Σωτῆρος, τὴν σάρκα μὲν θεοφόροι ἐνεκρώσατε, τὴν ψυχὴν δὲ πράξεσι, θείαις ἐζωώσατε, καὶ ταύτην ἀπειργάσασθε, ἔνθεον ὄργανον, ζωῆς τῆς ἀληθοῦς ἐνεργείας, ἡμᾶς ὁδηγοῦντες, πρὸς τρὶβον σωτηρίας.

Ἄσκησιν ἀνύσαντες ὁσίαν, καὶ ἄθλησιν μακαρίαν διαθλήσαντες, διπλῶν ἠξιώθητε, τῶν στεφάνων Ἅγιοι, παρὰ Χριστοῦ κραυγάζοντες Ὁσιομάρτυρες· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Σύστημα Ὁσίων πενταρίθμων, καὶ ὅμιλε τῶν Μαρτύρων ὁ ἐξάριθμος, ἄνθη εὐωδέστατα, καὶ ἀστέρες πάμφωτοι, Μονῆς ἐξ ἧς προήλθετε, βίου λαμπρότητι, τῆς θείας καὶ σεπτῆς τοῦ Προδρόμου, πάσης δυσωδίας, παθῶν ἡμᾶς λυτροῦσθε.

Θεοτοκίον.
Ἴθυνον ἡμᾶς Θεογεννῆτορ, πρὸς τρῖβον τὴν ἀπλανῆ ζωῆς τῆς κρείττονος, ἅπαντα τὰ σκάνδαλα, ἀφ' ἡμῶν διώκουσα, Ἁγνὴ τοῦ πολεμήτορος, ἵνα βοῶμέν Σοι, τὸ χαῖρε εὐχαρίστῳ καρδίᾳ· χαῖρε Θεοτόκε ὑπερευλογημένη.

Κανὼν δεύτερος. Ἑπταπλασίως κάμινον.
Γνώμην εὐθεῖαν ἔχοντες, καὶ βαθεῖαν ταπείνωσιν, πρὸς ὑψηλοτάτην, ἀρετῶν ἀκρώρειαν, ἀνήλθετε Ὅσιοι, παμμάκαρ Διονύσιε, Νήφων Ἱεράρχα, καὶ Δομέτιε θεῖε, Λεόντιε θεόφρον, καὶ Φιλόθεε Πάτερ, καὶ ὄμμασι καρδίας, τὰ ὑπὲρ νοῦν ὁρᾶτε.

Ἐν Ἀθληταῖς περίδοξοι, ἀληθῶς ἀνεδείχθητε, Μακάριε ὄντως, Χριστοφόρε ἔνδοξε, Γεννάδιε πάντιμε, καὶ Ἰωάσαφ καὶ Ἰωσήφ, σὺν τῷ θείῳ Παύλῳ, ὁμοφώνως βοῶντες· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥῶσιν ψυχῶν αἰτήσασθε, ἑνδεκάριθμοι Ἅγιοι, καὶ κατὰ παθῶν, ἰσχὺν θείαν δεόμεθα, ἡμῖν τοῖς γεραίρουσιν, ὑμᾶς θείοις ἐν ᾄσμασι, καὶ πταισμάτων λύσιν, τοῖς βοῶσιν ἀπαύστως· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.
Ἀπειρογάμως τέτοκας, τὸν τὸ εἶναι παρέχοντα, πᾶσι Θεοτόκε, διὰ μέγα ἔλεος, καὶ Τοῦτον ἐθήλασας, Παρθένε ὥσπερ νήπιον, λύοντα ἀρᾶς, τῆς τοῦ Ἀδὰμ τοὺς βοῶντας· χαῖρε Θεοκυῆτορ, Βασίλισσα Ἀγγέλων, καὶ κόσμου προστασία, καὶ σκέπη σωτηρίας.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Μνήμην τὴν ὑμῶν, γεραίρομεν σήμερον ἀγαλλιώμενοι, Ὅσιοι καὶ Μάρτυρες, τῆς τοῦ Προδρόμου Μονῆς βλαστήματα, ἐν ᾗ ἡμῖν αἰτήσασθε τὸ θεῖον ἔλεος, καὶ πταισμάτων, ἄφεσιν δεόμεθα, καὶ παθῶν πολυτρόπων ἐκλύτρωσιν.

Ὅμιλε σεπτέ, χορεία ὑπέρτιμε οἱ ἐνδεκάριθμοι, Ὅσιοι καὶ Μάρτυρες, τῶν Ἀσωμάτων οἱ ἰσοστάσιοι, τὰς ἀμοιβὰς δεχόμενοι τῶν παλαισμάτων ὑμῶν, ἐκ Κυρίου, πάντοτε προΐστασθε, τῆς ἡμῶν ἀσθενείας δεόμεθα.

Ὕδατος ζωῆς, τρυφῶντες μακάριοι καὶ τῆς θεώσεως, τὸν καρπὸν δρεπόμενοι, ἡμῶν τὸν ὕμνον τοῦτον προσδέξασθε, ὡς προσφορὰν εὐπρόσδεκτον καὶ ἐξαιτεῖσθε ἀεί, ἰσχὺν θείαν, κατὰ τοῦ ἀλάστορος, καὶ πταισμάτων θεόθεν τὴν ἄφεσιν.

Θεοτοκίον.

Ὑμνοῖς καὶ ᾠδαῖς, ἀπαύστως δοξάζομεν καὶ μεγαλύνομεν, Θεοτόκε Δέσποινα, τῶν μεγαλείων Σου τὴν λαμπρότητα, καὶ τῶν πολλῶν θαυμάτων Σου χάριν τὴν ἄφθονον, ὅτι σῴζεις, πάσης περιστάσεως, τοὺς τῇ Σῇ προστασίᾳ προστρέχοντας.

Κανὼν δεύτερος. Ἐξέστη ἐπὶ τούτῳ.

Σοφίᾳ καὶ ἀσκήσει πνευματικῇ, τῷ Κυρίῳ δουλεύσαντες Ὅσιοι, τῆς παρ᾽ Αὐτοῦ, δόξης ἠξιώθητε καὶ χαρᾶς, θεόφρον Διονύσιε, Νήφων καὶ Δομέτιε ἱερέ, Λεόντιε τρισμάκαρ, ὁμοῦ σὺν Φιλοθέῳ· ὅθεν ὑμᾶς νῦν μακαρίζομεν.

Ἰσχύϊ ἀριστεύσαντες θεϊκῇ, τὰ τῶν πόνων ἐδέξασθε ἔπαθλα, παρὰ Χριστοῦ, μάκαρ Χριστοφόρε καὶ Ἰωσήφ, Μακάριε, Γεννάδιε, Ἰωάσαφ, Παῦλε οἱ εὐκλεεῖς· καὶ νῦν σὺν τοῖς Ἀγγέλοις, ἀπαύστως δυσωπεῖτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Μονὰς τὰς οὐρανίους καὶ φωταυγεῖς, σὺν Ἀγγέλων οἰκοῦντες στρατεύμασι, περιφανῶς, Ὅσιοι καὶ Μάρτυρες θαυμαστοί, βραβεύετε ἑκάστοτε, ταύτῃ τῇ ἁγίᾳ ὑμῶν Μονῇ, ἀγάπην καὶ εἰρήνην, καὶ φῶς θεῖον θεόθεν, καὶ προθυμίαν πρὸς τὰ κρείττονα.

Θεοτοκίον.

Ὁλόφωτε λυχνία καὶ χρυσαυγής, ἡ τεκοῦσα Πατρὸς τὸ ἀπαύγασμα, μετὰ σαρκός, μόνη Ἀειπάρθενε Μαριάμ, τὸν

σκοτασμὸν ἀπέλασον, τὸν τῆς διανοίας μου δυσωπῶ, καὶ φέγγει μετανοίας, καταύγασον τὸν νοῦν μου, τῇ φωτοφόρῳ ἀντιλήψει Σου.

Καταβασία. Ἅπας γηγενής.

**Ἐξαποστειλάρια. Τὸ Ἀναστάσιμον καὶ εἶτα τῶν Ἁγίων. Γυναῖκες ἀκουτίσθητε.**

Ἀσματικῶς τιμήσωμεν, χορείαν ἑνδεκάριθμον, τῶν θεοφόρων Πατέρων, καὶ Ἀθλοφόρων Ὁσίων, τοὺς διαφόροις ἔτεσιν, ἐνταῦθα διαλάμψαντας, καὶ νῦν Χριστῷ πρεσβεύοντας, ὑπὲρ ἡμῶν τῶν τελούντων, τὴν ἱερὰν αὐτῶν μνήμην.

Θεοτοκίον. Ὅμοιον.

Θεὸν κυοφορήσασα, ὑπερφυῶς Πανάμωμε, καὶ μετὰ τόκον τὸν θεῖον, ὡς πρὸ τοῦ τόκου παρθένος, ἄφθορος διαμείνασα, Παρθένε Παναμώμητε, φθοροποιῶν ἐκκάθαρον, ἐννοημάτων τὸν νοῦν μου, ἵνα ὑμνῶ Σε ἀπαύστως.

**Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν Ἀναστάσιμα τοῦ ἤχου δ᾽ καὶ τῶν Ἁγίων δ᾽, τὰ ἑξῆς. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Τὸν ἑνδεκάριθμον δῆμον καὶ θεοδόξαστον, τοὺς διαφόροις χρόνοις, ἐν ἀσκήσει ὁσίᾳ, καὶ ἄθλοις μαρτυρίου πόθῳ θερμῷ, τὸν Χριστὸν μεγαλύναντας, ἀνευφημὴσωμεν πάντες ὡς τῆς Μονῆς, ἡμῶν θεία καλλωπίσματα.

Ὁ τῶν Ὁσίων Πατέρων χορὸς πεντάριθμος, σὺν τῷ Διονυσίῳ, ὁ Ἱεράρχης Νήφων, Δομέτιος ὁ θεῖος, καὶ ὁ σεπτός, μυροβλύτης Λεόντιος, σὺν Φιλοθέῳ ὑμνείσθωσαν τῷ κλεινῷ, ὡς ἡμῶν πρέσβεις πρὸς Κύριον.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Ὁσιομάρτυρες θεῖοι Χριστοῦ ἑξάριθμοι, Μακάριε θεόφρον, Ἰωάσαφ καὶ Παῦλε, καὶ θεῖε Χριστοφόρε καὶ Ἰωσήφ, καὶ τρισμάκαρ Γεννάδιε, ὑπὲρ ἡμῶν δυσωπεῖτε διὰ παντός, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Τοῦ Βαπτιστοῦ Ἰωάννου Μονὴ ἡ ἔνθεος, φαιδρῶς πανηγυρίζει, τῇ σεπτῇ ὑμῶν μνήμῃ, Πατέρες θεοφόροι καὶ

ἐκβοᾷ· ἑνδεκάριθμοι Ἅγιοι, παρὰ Θεοῦ ἐξαιτεῖσθε πᾶσιν ἡμῖν, φωτισμὸν καὶ θεῖον ἔλεος.

Δόξα. Ἦχος πλ. α΄.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν τῷ πνεύματι, καὶ σκιρτήσωμεν εὐφραινόμενοι, τῇ φωτοφόρῳ μνήμῃ τῶν Πατέρων ἡμῶν. Ἱερεῖς καὶ μονάζοντες συνελθέτωσαν, καὶ τοὺς δι᾽ ἀρίστης ἐνταῦθα πολιτείας, πόνων ἀθλήσεως, τὴν ἰσάγγελον ζωὴν σοφῶς, ἐκλάμψαντας ἐνθέως, ἀνυμνείτωσαν· φιλεόρτων τὰ συστήματα, τοὺς τοῦ καλοῦ Ποιμένος θεοσυλλέκτους ἄρνας, ἐπαξίως μακαρίσωμεν· τὰ πυξία τῶν ἀρετῶν, τὰ τῆς ἀγάπης ταμεῖα, τῆς ἀπαθείας τοὺς θησαυρούς, τῆς ταπεινώσεως τοὺς πύργους, τοὺς τῆς ἀπάτης καθαιρέτας, τῶν μονοτρόπων τοὺς κυβερνήτας, τοὺς πάντας θεοσόφως κατευθύνοντας πρὸς τρίβους σωτηρίας, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Πατέρες ἑνδεκάριθμοι, μὴ παύσησθε πρεσβεύοντες Κυρίῳ, ὑπὲρ τῆς παρούσης ὑμῶν ποίμνης, ὡς παῤῥησίαν πρὸς Αὐτὸν ἔχοντες.

Καὶ νῦν. Θεοτοκίον.
Ὑπερευλογημένη ὑπάρχεις…

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τά Τυπικά καί οἱ Μακαρισμοί (Ἀναστάσιμοι τοῦ ἤχου δ᾽ καὶ ἐκ τῶν Κανόνων τῶν Ὁσίων ἡ γ΄ καὶ στ΄ ᾠδή).**

**Ἀπόστολον τῆς Κυριακῆς καὶ τῶν Ὁσίων, (ζήτει τῷ Σαββάτῳ τῆς Ε᾽ Ἑβδομάδος).**

**Εὐαγγέλιον τῆς Κυριακῆς καὶ τῶν Ὁσίων (ζήτει τῇ Γ΄ Κυριακῇ τῶν Νηστειῶν).**

**Κοινωνικά. Αἰνεῖτε τὸν Κύριον.. καὶ Εἰς μνημόσυνον αἰώνιον…**

**Μεγαλυνάριον.**

Δῆμον ἑνδεκάριθμον καὶ σεπτόν, Ὁσίων Πατέρων, εὐφημησωμεν εὐλαβῶς, χαίρετε βοῶντες, πεντάριθμοι Πατέρες, καὶ Ὁσιομαρτύρων, χορὸς ἑξάριθμος.

Δίστιχον.
*Ἑνδεκάριθμον ἀνύμνησε χορείαν*
*Γεράσιμος νῦν ᾀσμάτων συμφωνία.*